αὐτῶν · οὐκοῦν, ἐπειδήπερ Ἑλλήνων παῖδες ἐπί γε τοῖς σφῶν αὐτῶν διδασκάλοις φρονοῦσι μέγα, καὶ καταπτοεῖν οἴονταί τινας Ἀναξιμάνδρους ἡμῖν καὶ Ἐμπεδοκλεῖς, Πρωταγόρας τε 513A καὶ Πλάτωνας ὀνομάζοντες, προσεπάγοντες | δὲ τούτοις καὶ τοὺς ἑτέρους οἳ τῶν ἀνοσίων αὐτοῖς δογμάτων γεγόνασιν εὑρέται καὶ ἵν' οὕτως εἴπω τῆς ἀμαθίας πηγαί, φέρε λέγωμεν ὅτι διαφόροις μὲν δόξαις ἀντεγειρομένους ὥσπερ ἀλλήλοις καταθρήσαι τις ἂν αὐτούς, ἀσύμβατον δὲ καὶ ἐφ' ἑκάστῳ τῶν ὄντων τὴν ἀπολογίαν εἰσφέροντας. Εἶτα πρὸς τούτῳ καταδεικνύωμεν Μωσέα μὲν ἐν χρόνῳ τὰ πρεσβεῖα λαχόντα, καὶ δόξαν ὀρθὴν καὶ ἀπλανεστάτην περὶ τῆς ἀρρήτου καὶ ἀνωτάτω πασῶν οὐσίας εἰσκεκομικότα, καὶ κοσμοποιίας ἄριστα μνημονεύσαντα, καὶ νόμων τῶν εἰς εὐσέβειαν καὶ δικαιοσύνην οὐκ ἀθαύμαστον βραβευτήν, τοὺς δὲ παρ' αὐτοῖς ὠνομασμένους σοφοὺς γεγονότας μὲν ὑστάτους καὶ νεωτάτους, κεκλοφότας δὲ τὰ ἐκείνου καὶ τοῖς ἰδίοις λόγοις ἐγκατακλώσαντας, εἰ καὶ B μὴ εἰς ἅπαν ὑγιῶς | ἰσχύσαντας οὕτω καὶ δόξαν ἁρπάσαι σεμνοπρεπῆ καί τι τῶν ἀληθῶν ἐοικέναι λέγειν.

5. Τοίνυν γεγόνασί τινες μὲν μετὰ Μωσέα, συνήκμασαν δὲ καὶ ἕτεροι κατὰ καιροὺς τοῖς μετ' ἐκεῖνον προφήταις ἁγίοις · ὧν οἱ ταῖς δόξαις κατακολουθεῖν ᾑρημένοι ψήφου τῆς κρείττονος παρὰ τοὺς ἄλλους ἠξίωνται, καίτοι τοῦ ψεύδους εἰς ἅπαν οὐκ ἐλευθέραν τῆς περὶ Θεοῦ δόξης ποιούμενοι τὴν ἀπόδοσιν.

Ὅτι τοίνυν Μωσῆς ὁ θεσπέσιος πρεσβύτατος μὲν ἦν κατά γέ